# ΕΠΙΣΤΟΛΑΙ ΔΙΑΦΟΡΩΝ.

## ΤΟΥ ΑΥΤΟΥ ΚΥΡΙΟΥ
## Θ Ε Ο Φ Ι Λ Ο Υ
## ΤΟΥ ΚΟΡΥΔΑΛΛΕΩΣ

Πρὸς τὸν παναγιώτατον Κωνσταντινουπόλεως, Πατριάρχην, πρότερον δ' Ἀλεξανδρείας Κύριον Κύριλλον.

Θειότατε καὶ θεοπρόβλητε Δέσποτα οἰκουμενικὲ Πατριάρχα· εἴησου τὸ ἔνθεον σκῆνος τῆς τρισολβίας ψυχῆς ὑγιαῖνον, καὶ πάσης ἐπηρείας ὑπέρτερον.

Τέρπει καὶ ζῶα καὶ φυτὰ πάντα θάλπει τὸ τῆς ἡλιακῆς ἀκτῖνος προσβάλλον ἀπαύγασμα σεβασμιώτατε Δέσποτα. τὰ πολλὰ δὲ καὶ εἰς ᾠδὴν παρορμᾷ, χυμοὺς τοὺς ἐν αὐτοῖς διαχέον ἐπὶ τὸ ἱλαρώτερον. καὶ ἔστιν ἡλίου (ὡς λέγεται) οὔτε θεσπεσιώτερον ἐν τοῖς ὁρωμένοις οὐδὲν, οὐδὲ δημοσιώτερον. Εἰ δὲ τὸ αἰσθητὸν τοῦ ἡλίου ἀπαύγασμα τοιοῦτόν ἐστι καὶ κρίνεται, ὁποῖον χρὴ νομίζειν τὸ νοερὸν φῶς, ὅλην περιαστράπτον ψυχὴν θαυμαστῶς ἀπὸ ὀρέων αἰωνίων πεμπόμενον; πόσης ἐκεῖνο θυμηδίας παραίτιον τοῖς γ' ὡς ἀληθῶς ἐν φωτὶ περιπατοῦσι καὶ υἱοῖς ἐσομένοις φωτός; Ἀνατέλλει γάρ φησι τῷ δικαίῳ, καὶ τοῖς εὐθέσι τῇ καρδίᾳ εὐφροσύνης γίνεται πρόξενον. Ἀλλὰ φῶς μὲν πηγαῖον καὶ ἄχρονον ὁ ἱερὸς οἶδε λόγος, τὸ φωτίζον πάντα ἄνθρωπον ἐρχόμενον εἰς τὸν κόσμον. δεύτερα δὲ



ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ ... ΝΕΟΕΛΛΗΝΙΚΗΣ ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ ... ΙΩΑΝΝΙΝΑ 2006

φῶτα, καὶ τοῦ πρώτου φωτὸς λειτουργικὰ ἐπὶ γῆς μεμαρτύρηνται, οἱ τῆς ἐκκλησίας ποιμένες καὶ πρόεδροι. ἃ καὶ φωτίζεται μὲν παρὰ τοῦ πρώτου· φωτίζει δὲ τοὺς ὑποβεβηκότας τῇ φωτιστικῇ μυήσει τε καὶ τελεσιουργίᾳ. Ἐν τούτοις ἔμελλε μὲν ἡμῖν οὐκ ἀμυδραῖς ἀκτῖσιν ἀναλάμψαι σου ἡ σεβασμιότης, ἐν πολλῷ τῷ χειμῶνι καὶ ζόφῳ ἀπορουμένοις. μᾶλλον δ' ἐπ' αὐτῷ τούτῳ καταπεμφθῆναι, ἐφ' ᾧ καὶ χειμῶνα κατευνάσῃ ψυχόλεθρον, καὶ σκότος ἀγνοίας διασκεδάσειεν. Ἀλλ' ἡ μέλλουσα ταύτην τελεταρχικὴ τοῦ πνεύματος χάρις ἐπὶ τὴν ἀκροτάτην ἐνιδρῦσαι περιωπὴν, πολὺ πρότερον ἐπὶ τὴν ἀκρώρειαν τῶν ἀρετῶν προεβίβασεν, ὡς ἐναύστοι τὸ ἀξίωμα, μὴ μόνον θεαρχικῆς ἐλλάμψεως δῶρον, ἀλλὰ καὶ αἷς κατεκόσμησεν ἀρεταῖς κατάλληλα. Τεκμήριον δὲ τούτου σαφὲς, καὶ τοῖς πᾶσι βασκαίνουσιν ἀναντίῤῥητον. οὔτε γὰρ ἂν ἡ πρόνοια ἠνέγκῃ κακίας αἰρομένης, κάτω μένειν ἀρετῆς φύσιν ἀχρεῖον καὶ ἄπρακτον. (εἰ μήτι πρὸς ἡμῶν ἁμαρτάνηται) βούλεται γὰρ ἀεὶ ἐπὶ τὴν λυχνίαν τὸν λύχνον τίθεσθαι. καὶ πάντων πάσαις χερσὶ καὶ γνώμαις ὑπεραρθῆναι σε τῷ ἀξιώματι, θείας ἐστὶν ἄντικρυς μοίρας προαγούσης ἤδη, ἐφ' οἷς καὶ κατέπεμψε λειτουργήμασι. Τὸ δὲ δὶς ἤδη, ἵνα καὶ μᾶλλον ἐπισφραγίσηται τὸ ὑπερέχον τῆς ἀρετῆς, καὶ μηδὲν εἴη ἀθέατον ταῖς ἀνατατικαῖς πρὸς θεὸν ἀκτῖσι τῆς ὑμετέρας συνέσεως. οἷον γὰρ ἄλλον ἐπὶ γῆς ἥλιον, τοῦ πρώτου τῆς δικαιοσύνης ἡλίου ἀπείκασμα, ἐστήριξε μὲν φθάσασα ἐπὶ τὴν πρώτην τοῦ φαεσφόρου κύκλου περιωπὴν, τὴν μετὰ τὴν παραγγείλασα τῶν ἄλλων φωστήρων πορείαν. ἀλλ' ἐπὶ μεσημβρίαν ἀποκλίνας, τὰς κυαναίων ἀνδρῶν πόλεις

πόλεις καὶ χώρας κατηύγαζες, ῥᾳδίον πανελλήνεσι Φαέθων. νυνὶ δὲ ἀπὸ τῆς ἐαρινῆς ἀνίσχων ἰσημερίας, τὸ καλὸν ἡμῖν ἀνέτειλας ἔαρ. ἔαρ, ὃ ψυχὰς πιστῶν καταθάλπει, μονονουχὶ πεπηγείας τῷ ψύχει τῆς πρὸς τὰ καλὰ διαθέσεως. ἔαρ, ὃ καθηδύνει τοὺς θείου οἴκου ποθοῦντας εὐπρέπειαν. ὃ ποικίλλει κατάστεφον τὸν λειμῶνα τῆς ἐκκλησίας μυρίοις ὅσοις εὐώδεσι τῶν ἀρετῶν ἄνθεσιν. ἤρθης ἤδη ἐπὶ τὸν ἡμέτερον τροπικὸν, ἢ τό γ' ἀληθέστερον εἰπεῖν, μετέβης κἂν ἀρθῆναι δοκῇς. ἔνθα κατὰ κορυφὴν μᾶλλον, οὐδὲ πλαγίως ἔτι καὶ ἀνειμένως ἐποπτεύων, τοῦ πνευματικοῦ θέρους ἡμῖν ἐκτελεῖς τοὺς καρπούς, ὅσον μὲν τηπεδονῶδες ἐμπαθοῦς ὕλης, ἀναξηραίνων, ὅσον δ' αὐστηρὸν καὶ ἀντέχον, μαλάττεις, ἀεὶ καταψῶν ταῖς ἀκτῖσι τῶν θείων λογίων· καὶ εἰς ἀποθήκην ἀπεργαζόμενος ὥριον. Ταῦτά τοι καὶ προκαλεῖται σοι τὴν εὐλογίαν τῶν θεωρούντων, καὶ πάντας ᾄδειν ἐγείρει τῆς θεοσέπτου ψυχῆς σου τὰ προτερήματα. Ἐμοὶ δὲ τὴν ὑπώρειαν λαχόντι, καὶ πόῤῥωθεν ἐνηχουμένῳ, τῇ περὶ τὸ ἔνθεον ὕψος σου σάλπιγγι, τόγε νῦν εἶναι τοσαῦτα ἐπῆλθεν εἰπεῖν εὐλαβουμένῳ τὸ τῆς παροιμίας· κωφὸν ἀποκαλύψῃς, τὸν Ἡρακλεῖ στόμα μὴ παραβάλλοντα. ἢν δὲ θεὸς ἐπινεύσοι, καὶ Μωσῆς (ἡ σὴ θεοσέβεια) ἐγγυτέρω γενέσθαι, παρὰ σοί τε, καὶ ὑπὸ σοί, τελεώτερον εἴσομαί τε καὶ ᾄσομαι. Ἀλλὰ συνδιέποι σοι, καὶ συμπροάγοι εἰς βαθύ τε καὶ λιπαρὸν γῆρας ἡ καὶ δωρησαμένη τὸ ὕψος τοῦ ἀξιώματος ἀγαθαρχικὴ πρόνοια σεβασμιώτατε. ἔῤῥωσο. ἀπὸ Ζακύνθου αχκα. ἔτει ἀπὸ Χριστοῦ. Θαργηλιῶνος ζ. ἱσταμένου.

δοῦλος τῆς ὑμετέρας σεβασμιότητος ἐλάχιστος, ἀλλὰ πιστὸς Θεόφιλος ὁ Κορυδαλλεύς.



Ε.Υ.Δ.Ε.Σ. Κ.Τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

## Ὁ αὐτὸς Σοφιανῷ.

Οἷς ἀπαιτεῖς με τὸ γράφειν, τοῖς αὐτοῖς τοῦτο μοι δοκεῖ ἀπαγορεύειν ὦ βέλτιστε. καινῶν γὰρ εἶναί σοι τῶν παρ' ἡμῖν ἐξαγγελτικὰ κελεύεις τὰ γράμματα. τοιοῦτον δ' ἐστὶν οὐδὲν τῶν γινομένων, ἀλλ' οὐδὲ τῶν δυνατῶν, εἰ Σολομῶντι χρὴ πείθεσθαι. Τὸ γενησόμενον εἶναι, τὸ γεγονὸς διδάσκοντι, ὡς καὶ τὸ ποιηθησόμενον, τὸ πεποιημένον. καὶ οὐδὲν καινὸν, οὐδὲ πρόσφατον ὑπὸ τὸν ἥλιον. τοιαύτη γὰρ ἡ τοῦ χρόνου φύσις. οἷα γὰρ ἀναλίσκει τὰ ἔκγονα, τοιαῦτα καὶ ἀποδίδωσιν, ἐν κύκλῳ τὸ ἄφθαρτον ἀποσώζουσα. οὐκ ἄρα γράφειν ἡμῖν ἔξεστι, καινὰ μηνύειν οὐκ ἔχουσιν. Εἰ δὲ τὴν ἀεὶ νέον ἐγγινομένην παρὰ τῶν φιλοσόφων εἰσήγησιν ἐννοεῖς, οὐδ' αὕτη τοιοῦτον. ἡ γὰρ μάθησις ἀνάμνησίς ἐστιν, ἣ δοκεῖ Πλάτωνι· ἡ δ' ἀνάμνησις προεγνωσμένου τινὸς ἐστὶν ἀναπόλησις. ἔστω δὲ καὶ ἡ ἀνάμνησις τὸ μανθάνειν, οὐ μὴν διὰ τοῦτο καινὸν, ἀλλὰ καὶ κοινὸν, εἴπερ ἐστὶ δεκτικὸς ἐπιστήμης ὁ ἄνθρωπος. Ἀλλά πως δοκοῦμεν ἀνασκευάζοντες τὰ καινά, αὐτὸ τοῦτο κατασκευάζειν ὅτι καινά. ἡ γὰρ τῶν καινῶν ἀπόφασις θέσις αὐτῶν τούτων ἐστίν. Ἄλλως τε οὐδὲ πόῤῥω τῆς ἀληθείας ἡ Ἡρακλείτιος πρόληψις, τοῖς ῥέουσιν ἀεὶ νέα ἀντεισάγεσθαι ἕτερα. ἔστω γοῦν ἵνα καὶ σοὶ χαρισώμεθα καινὰ μηνύοντες, καὶ ἡμῖν αὐτοῖς φιλοσοφήσωμεν τῶν καινῶν τὴν ἀπόφασιν. Ἀλλ' αὐτὸς (εἴ σοι δοκεῖ) καινῶν τοιούτων μνηστευόμενος πρόφασιν, καὶ αὖθις γράφε, καὶ ἔῤῥωσο.

Ε.Υ.Δ της Κ.τ.Ι. ΙΩΑΝΝΙΝΑ 2006

Μάξιμος ὁ Μαργούνιος Δαβίδῃ τῷ Ἑσχελίῳ, ἀνδρὶ σοφωτάτῳ, εὖ πράττειν.

Καὶ βασιλεῖ ποτὲ ὕδωρ προσενεχθὲν, οὐ πρὸς τὸ τοῦ δώρου μικροπρεπὲς, ἀλλὰ πρὸς τὸ τοῦ δωρουμένου πρόθυμον ἀποβλέψαντι, οὐκ ἄχαρι πάντως τὸ δῶρον ἔδοξε. καὶ σοὶ πρὸς τοῦτ' αὐτὸ, ἐν οἷς σε φιλοδωρούμεθα ἀφορῶντι, οἷς γὰρ δυνάμεθα τοῦτο πράττομεν, μὴ ἐξὸν οἷς ἂν προελοίμεθα, οὔτοιγε τὰ παρ' ἡμῶν, ἄλλως τε καὶ σοῦ τὰς τοιαύτας ἡμῖν ὑπεκκαύσαντος ὕλας, ἀπόβλητα. εἰ δὲ μὴ, διαμήνυε, κἂν τοῖς πρὸς ἡμᾶς σοῦ γράμμασι τὰ τῆς προαιρέσεως διαχάραττε, καὶ σοὶ οὐ διενοχλήσομεν τοῦ λοιποῦ, τῶν ὑψηλοτέρων σε τάχα θεωρημάτων, διὰ τῶν χαμερπεστέρων τούτων καθέλκοντες. μήποτε δὲ καὶ Τεύκρῳ ποτὲ στρατευομένῳ, τῇ τῆς ἀσπίδος προβολῇ Αἴας οὐκ ἀσύμφορος γέγονεν. οὔκουν οὐδὲ Μάξιμος ἴσως, ἐντισὶ γοῦν, Ἑσχελίῳ, ἀλυσιτελὴς εἰς τὰ δόξαντα. Δέξαι οὖν φιλοφρόνως καὶ τουτὶ παρ' ἡμῶν, καὶ ἀκριβῶς τῇ παρὰ σοὶ βασάνῳ προσάγαγε. κἂν μέντοι γνήσιον δόξῃ τὸ κύημα, καὶ ἥλιον ἴδοι ποτὲ καταυγάζοντα. εἰ δ' οὖν, ἵνα μὴ καὶ τὸν νοῦν καταργῇ, Ἡφαίστῳ παραδοθήτω παρανάλωμα. ἔρρωσο ἀνδρῶν σοφώτατέ μοι καὶ προσφιλέστατε.

Ἐνετίῃσι, Μαιμακτηριῶνος πρώτῃ ἐπὶ δεκάτῃ, κατὰ τὸ 1590. ἔτος τὸ σωτήριον.

Μάξιμος ταπεινὸς Κυθήρων ἐπίσκοπος Σαμουήλῳ τῷ ὁσιωτάτῳ καὶ σοφωτάτῳ εὖ πράττειν.

Λόγους λόγων ἀντιθηρῶμαι παρὰ τοῦ λόγοις ἐντρυφῶντος διηνεκῶς, ὡς εἴγε καὶ τῆς τούτων ἐπι-

ἐπικαρπίας, ἵν' ἅμα καὶ τρυφῴη καὶ τελειοῖτο τὰ κρείττονα. εἰ δὲ μή μοι ἄλλως ἡ θήρα διαπεπόνηται, αὐτὸς δείξεις, ὦ Φέρων τὴν ἐπὶ τούτοις πᾶσαν ἐλπίδα ἀνέθηκα. δείξεις δ' ἄρα φιλῶν εἰ μόνον καὶ βύβλοιο, ὡς οὐχ ἥκει ἡμῖν εἰς ἀποτυχίαν τὰ τῆς σπουδῆς. ἀλλὰ καὶ μάλα εὐαπόκτητα, ὧν ἡμεῖς περὶ τὴν εὐτυχίαν κατησχολήμεθα. θηρώδους τι αἰπέζαι καὶ τὰ γραφόμενα τῇδε κἀκεῖσε περιπλανώμενα, ἵνα τοῦτο καὶ μόνον καρπώσηται, αὐτὴν τὴν τοῦ θηράματος εὐτυχίαν. Ἀλλὰ γὰρ ἡμεῖς τήν τε ἄλλην σοῦ περὶ ἡμᾶς οὐκ ἀγνοοῦντες διάθεσιν, καὶ τὸ τῶν τρόπων εὐπρεπές τε καὶ χάριεν, οὐχ ἔτι γε λόγων θήρας, ἀλλὰ δὴ καὶ ἀνθρώπων, τό γ' ἐπὶ σοί, ἐπιτεύξεσθαι καθηλπίκαμεν. εἴη δ' ἄν τε ἡ περὶ τὸν καλὸν κἀγαθὸν Ἔμπορον, περὶ οὗ καὶ πρότερον φθάσαντες ἀπεστείλαμεν. καὶ γένοιτο πολλῶν ἕνεκα οὐκ ἀθήρατον ἡμῖν γενέσθαι τὴν περὶ ταῦτα σπουδὴν καὶ προαίρεσιν. ἐῤῥωμένην διαφυλάττοι ὁ Κύριος τὴν σὴν ἁγιωσύνην ψυχῇ τε καὶ σώματι. Συγγνοίης μοι παρακαλῶ ἐξ ἀνάγκης χρησαμένῳ νόμῳ λακωνικῷ.

Ἐνετίηθεν Φευρουαρίου ὀγδόῃ φθίνοντος κατὰ τὸ αφϙγ´ ἔτος τὸ σωτήριον.

Κυρίλλου τοῦ νῦν Κωνσταντινουπόλεως πατριάρχου, πρότερον δὲ Κωνσταντίνου καλουμένου. Κωνσταντῖνος ὁ Λούκαρις Δαβίδῃ τῷ Ἐσχελίῳ εὖ πράττειν.

Καὶ τοῦτο πῶς σοι δοκεῖ, οὐ μικρὸν ἧσε μου τὴν ψυχὴν τὸ ἐγνωκέναι σοφόν σε Ἕλληνα εἶναι, σοφώτατέ μοι Ἐσχέλιε. τί δὲ λέγω σοφόν; καὶ σοφωτάτων ὑπέρτατον. τοῦτο γάρ μοι ἐκ τῶν σῶν γραμμάτων δευτερουμένων τε καὶ τρισσευομένων πρὸς

τὸν

τὸν Κυθήρων σοφώτατόν τε καὶ ἀξιάγαστον ἐπίσκοπον, τὸ τῆς Ἑλλάδος τό γε νῦν εἶναι, χρυσόν τε καὶ περίτιμον λείψανον διήνυσαί τε καὶ ἐκδεδήλωται. καὶ σὲ δὶς, καὶ τρὶς οὐκ ἀπεικότως ἐμακάρισα, τὰς ἀλλαχοῦ διατριβούσας Μούσας τῷ προσαγωγῷ σου τῶν λόγων κατακυλήσαντα ἅμα καὶ καταγοητεύσαντα. ὥστε αὐτὰς ἐξ Ἑλικῶνος ὁρμηθείσας ἐν Αὐγούστῃ, τῷ Ἐχελίῳ ἐπικαθῆσθαι, τίς ἂν ἀποφήναιτο; ἐγὼ τοιγαροῦν καὶ ἀπόντος, ἀλλά σου τὴν σοφίαν ὡς οὐδεὶς ἄλλος ἀγάμενος διατελῶ· καὶ τοῦτο σοι διὰ γραμμάτων δηλῶσαι βουλόμενος, τοῖς ἴσοις μέτροις ἀντιφιλεῖσθαι πρὸς σοῦ ἀξιῶ, καὶ σῶν ποτὲ ἀμοιβαίων οὐκ ἀμοιρῆσαι. τὸ γὰρ ἀνδράσι λογίοις τε καὶ πεπαιδευμένοις (οἷον αὐτά σε παριστᾷ τὰ πράγματα) διὰ γραμμάτων συνομιλεῖν, μόνον μοι τοῦτο τῶν ἐν τοῖς μάλιστα νέκειται. γράφοις οὖν παρακαλῶ, εἰκόνας γὰρ εἰώθαμεν τῶν ἐρωμένων καταγκαλίζεσθαι. ὅταν αὐτῶν παρόντων μὴ ἐξῇ ἀπολαύειν.

## Ὁ αὐτὸς τῷ αὐτῷ.

Τὸν σοφὸν Λεόντιον περὶ ἄτλα τῶν ἀναγκαίων κατησχολῆσθαι γίνωσκε. σπουδάζει γὰρ ἵνα Χριστιανοὺς διὰ λόγων ἱερῶν τῷ Κυρίῳ προσκτήσηται. καὶ τοῦτο αὐτῷ παρὰ τῶν τὰ πρωτεῖα ἐν τοῖς ἐκκλησιαστικοῖς ἐχόντων ἐπιτίθεται τὸ φορτίον, ἅτε δὴ εὐφυεῖ, καὶ σοφῷ, καὶ ζῆλον θεϊκὸν ἐν τοῖς καλοῖς ἔχοντι. αὐτὸ δὴ τοῦτο αἴτιον, καὶ τοῦ μὴ πρὸς τὴν σὴν σεμνοπρέπειαν καὶ μικρὰ ἐγχαράξασθαι γράμματα. ἐνθέντοι καὶ δι' ἐμοῦ προσηνῶς πάνυ προσαγορεύει σου τὴν τιμίαν κεφαλήν.



Ε.Υ.Δ της ... ΙΩΑΝΝΙΝΑ 2006

Λεόντιος Εὐστράτιος Δαβίδῃ τῷ Ἐσχελίῳ.

Οὐδὲν τούτου πλέον, ἢ ὅτι βίβλοι καὶ γράμματα παρά σου ἧκέ μοι, τοῦ ἐμοῦ θωμᾶ διεξελθόντος, ὅτι τε δι᾽ ἐφέσεώς σοι τὰ καθ᾽ ἡμᾶς ἐκμαθεῖν, σπεύσας ἔγραψα ἐν ἀκμῇ τῆς τῶν διακομιστῶν ἀποδημίας· ἴσθι οὖν ἡμᾶς ὦ βέλτιστε καὶ ἡμῖν καταθύμια ξὺν θεῷ ἐῤῥωννυμένους τὰ πάντα, καὶ τὰς ἐν Ἐτίησι διατριβὰς παραμένοντας. καὶ ταῦτα μὲν ἤδη ἀσμένος δέξοιο· μετὰ τῶν σῶν γραμμάτων ἀνάγνωσιν διεξοδικωτέραν κατὰ τὴν τοῦ λόγου ἀπαίτησιν προσδοκῶν. πρὸ δὲ πάντων τῆς τῶν Φιλοκαλιῶν ἐκδόσεως μὴ καταμελήσειας. οἰκειότατα δέ σε καὶ ὁ θεοφιλέστατος Κυθήρων ἐπίσκοπος Κύριος Μάξιμος ὁ ἐμὸς διδάσκαλος προσαγορεύει. ἔῤῥωσο.

Μαξίμου Ἱερομονάχου τοῦ ἐκ τῆς Πελοποννήσου.
Μάξιμος Ματθαίῳ Ἱερομονάχῳ.

Ἔλπις ἡμῖν οὐ πάνυ σμικρὰ μετὰ τὴν ἐν κυρίῳ ἀποβίωσιν τοῦ μακαρίτου πατρὸς ἡμῶν Μελετίου θυμηδίας τε καὶ τέρψεως ὑπολέλειπτο, τὸ πόῤῥωθεν γοῦν πυνθάνεσθαι τὸν μακαρίτην Μάξιμον τὸν Μαργούνιον ζῆν. ὡς δὲ καὶ ἡ τούτου μετάστασις παρὰ πόδας ἡμῖν ἥκουσαι, ποικίλως πως διεθέμεθα. ποτέρᾳ τῇ λύπῃ ἡμᾶς αὐτοὺς οἱονεὶ ὑποβρυχίους γενέσθαι ἐάσαι, ἢ θεῷ μόνῳ τὰς ἐλπίδας ἀνακτέον, ᾧ οὐχ ἧττον ἡμῶν, ἢ ἡμῖν βουλητὸν μέλλει, καὶ ᾧ τοῦ Ἠλιοὺ ὀδυρομένου ὡς δῆθεν μονωτάτου καταλειφθέντος, καὶ τὴν ψυχὴν αὐτοῦ ἀπαιτουμένου, εἴρηται καταλιπεῖν ἑαυτῷ ἑπτακισχιλίους ἄνδρας μὴ κάμψαντας γόνυ τῇ Βάαλ, τοὺς καὶ τῷ προ-

ΙΩΑΝΝΙΝΑ 2006

προφήτη ἀγνοεμένες. Τέτες δή τὲς λογισμὲς ἡμῖν αὐτοῖς ἀνελίττουσι ποτέρῳ τέτων πειςέον; κρεῖττον ἔδοξε δεῖν τῷ δευτέρῳ πειθέντας ἡσυχίαν ἄγειν, ἅτε Θεῷ μᾶλλον ἀρέσκοντι καὶ εὐσεβείας ἐχομένῳ. ἐκείνως γὰρ ποιεντας, Θεῷ μαχομένες ἄντικρυς ἐδὲν διοίσειν οἰηθείη τις ἄν, ᾧ εὐσεβείας ὅλως μέλει. προνοεῖται γὰρ τῶν καθ' ἡμᾶς τὸ θεῖον, ὡς ἐκ οἴδαμεν ἡμεῖς. εἰ γὰρ τῶν προφητῶν οἱ πλεῖςοι (ὧν καὶ Ἡλίας) οἵῳ τρόπῳ τῶν τῇδε κήδεται ἠγνόεν, σχολῇ γ' ἡμεῖς. Ἀλλὰ τί δεῖ περὶ μηκύνειν τὴν ἐπιςολήν; πολλὰ τὰ τὴν ὁρμὴν ἀνακόπτοντα, καὶ ἄλλοις ταμιεύειν ἀπάγοντα. σὲ δὲ τὴν εὐλάβειαν παρακαλεμεν τὸν Κύριον διαφυλάττειν ὑγιᾶ, τῷ γένει ἡμῶν δυςυχῶς ἔχοντι τέως χρησιμεύσεσαν. Τὸν διακομιςὴν τετωνὶ τῶν γραμμάτων αὐτόσε παραγεγονότα, δι' εὐφήμου γλώττης ἄγειν σε τὴν σύνεσιν πανταχε παρασκεύασον, τῷ φιλοφρόνως αὖθις αὐτῷ προσίεσθαι. ᾧ καὶ ἐπανακάμπτοντι, εἴ τι τῶν βιβλίων ἔναγχος τετύπωται ἑλληνιςὶ δώσεις πάντως, λαβὼν πρὸς αὐτὲ ὅσα καταθήσειας ὑπὲρ ἡμῶν. ἔρρωσο. αχβ'. Γαμηλιῶνος. ζ.

Νικηφόρος ὁ καθηγούμενος Πάτμε, τῷ ὁσιωτάτῳ καὶ λογιωτάτῳ ἐν Ἱερομονάχοις κυρίῳ Μαξίμῳ εὖ πράττειν.

Χαίρω σοφῶν ἐντυγχάνων γράμμασι, καὶ οἶμαι τῶν ἄλλων ἐδενὶ κατὰ τἔτα παραχωρεῖν τῶν πρωτείων, ἔτω καθ' ὑπερβολὴν τῷ πάθει τέτῳ κεκράτημαι, εἰ δὲ καὶ παρὰ φίλων ἐγχαραχθεῖσι, πόσης ἂν οἴη με ἡδονῆς πληρεσθαι; Καὶ σοῖς τοίνυν ἐντυχὼν γράμμασιν ἀποςαλθεῖσι μοι παρὰ

 σε,

σοῦ, καὶ σοφοῦ, καὶ φίλου, πῶς οὐκ ἔμελλον οὐ μετρίως ἡσθῆναι; τοῦτο μὲν, διὰ τούτων τὸ πρὸς ἡμᾶς εὔνουν σου, καὶ τὸ τῆς φιλίας εἰλικρινὲς στοχαζόμενος. τοῦτο δὲ, καὶ τὸ ἐν λέξεσι κομψὸν, καὶ τὸ τῶν ὀνομάτων ἀττικὸν, καὶ ἀκριβῶς ἑλληνικὸν, ἐν τούτοις κατανοῶν. Αἲ γὰρ Ζεῦ τε πάτερ (φαίην ἂν κἀγὼ κατὰ τὸν Ὁμηρικὸν Ἀγαμέμνονα) καὶ Ἀθηναίη καὶ Ἄπολλον, τοιοῦτοι δέκα μοι εἶεν υἷες Ἀχαιῶν, τάχ' ἂν ἐξῆς τὰ νῦν ἀπαιδευσίας τὸ τῶν Ἑλλήνων δυστυχὲς γένος ἀνήνεγκε, καὶ πρὸς τὴν προτέραν ἀπεκατέστη εὐγένειαν, σοφοῖς καὶ αὖθις κατακοσμηθὲν ἀνδράσιν, ὡς τὸ πάλαι γεγονὸς ἐπίφθονον. ἀλλὰ ταῦτα μὲν ὡς τῷ θεῷ δοκεῖ, οὕτω καὶ γενήσεται. Σὺ δέ μοι φίλτατε (καλῶ δέ σε ὡς υἱὸν, τοῦ χρόνου τοῦτο μοι φιλοτιμουμένου) φιλοπόνως πρόσκεισο τῇ ἀναγνώσει τῶν τε ἡμετέρων νῦν, καὶ τῶν θύραθεν τῶν πρὶν ἡμετέρων. ἐκ μὲν τῶν, τὴν ὕλην λαμβάνων καὶ τὸ τῶν λόγων ὑποκείμενον. ἐκ δὲ τῶν, τὸ εἶδος, εἰ χρὴ οὕτω φάναι, καὶ διὰ τοῦτο κατακοσμῶν αὐτοὺς, ἐρασμιωτέρους τε ἀποδεικνύων. ἵνα καὶ ἡμᾶς μὲν εὐφραίνῃς τοιαῦτ' ἐργαζόμενόν σε πυνθανομένους, καὶ τὸ γένος δὲ τὸ ἡμέτερον ἐπιποσὸν γοῦν ἐπιδοῦναι δυνηθῇ. τὸ δὲ ἐξαίρετον καὶ πρῶτον, ἵν' ὁ θεὸς δοξάζηται καὶ παρὰ πάντων εὐλογῆται. ὃν εὔχομαι ἐῤῥῶσθαι σε μεμνημένον καὶ ἡμῶν ἐν ταῖς πρὸς αὐτὸν ἱκετηρίοις σου ἐντεύξεσιν. ἀπὸ τῆς καθ' ἡμᾶς σεβασμίας μονῆς Πάτμου. τῇ ζ'. τοῦ Μαρτίου. αχζ.

## Τοῦ σοφωτάτου καὶ ὑπερτίμου Μιχαὴλ τοῦ Ψελλοῦ. κατηγορικὴ κατὰ τοῦ ἰδίου Παπᾶ.

Καὶ ποταπὸς παπᾶς ὁ παπᾶς ὁ ἐμός, μηθ' εἱρμὸν μήτε τὰ πρὸς εἱρμὸν ᾄδειν εἰδώς. μήτε

φωνῆς

φωνῆς εὖ ἔχων, μήτε μέλος ἀναβάλλεσθαι δυνάμενος. πολλοῦ γε δεῖ οἴκους, καὶ ὑπακοὰς ἐξεπίστασθαι, καὶ ἐφ' ὅτῳ ταῦτα, καὶ ὅθεν. οὕτω πόῤῥω τῆς διακονίας τῶν Λευιτῶν ἐστίν. ὅσγε οὐδὲ τὸ σχῆμα δεῖν ἴσχειν τὸ ἱερὸν ἡγήσατο. οὔτε γὰρ τὸ χιτώνιον ἀπηκριβώσατο, ἀλλὰ κατὰ τὴν πέζαν διέῤῥηξε, καὶ τὴν τῆς κεφαλῆς κόρσην κομήσειν ἐξεπίτηδες ἐποιήσατο. Ἄρ' οὖν τῆς μὲν ἐπὶ τοῖς ἱεροῖς διακονίας ἀπέστη καὶ τάξεως, ἑτέραν δὲ ἰδέαν βίου καλλίστην προείλετο; πολλοῦ γε καὶ δεῖ. ἀλλὰ πολλὰ μὲν τῶν σεμνῶν ὀνομάτων κικλήσκεται. γραμματικὸς, καὶ νοτάριος, ὥσπερ δὴ καὶ τὸ εἰρημένον ἐπονομάζεται. ἔστι δὲ αὐτῷ ταῦτα, ὥσπερ οἱ ἀργοὶ κύνες παρὰ τῷ Ποιητῇ, καὶ ἡ πόρνη ἑταίρα παρὰ τοῖς Ῥήτορσι σεμνοπιουμένη, καὶ ἡ λαιὰ χεὶρ λεγομένη εὐώνυμος· καὶ οἱ παρ' ἡμῖν αἰθίοπες, τὴν μὲν χρόαν μελάντατοι, ἀργυροῖ δὲ ἐξ ἀντιφράσεως προσαγορευόμενοι. τοιοῦτον αὐτῷ καὶ τὸ γραμματικὸν ὄνομα, καὶ τὸ νοτάριον. Παιδίον μὲν γὰρ ὢν ἐς ἀμφοτέρας ἐφοίτησε τὰς διατριβὰς, καὶ πολλὰ τῶν γυμνασίων μετήμειψεν, οὐχ ὥστε μαθεῖν, ἀλλὰ τοῖς μανθάνουσι συγχέαι τὴν παίδευσιν. ὥστ' εἴτις αὐτὸν ἐρωτῴη, τί ποτε τὸ ὀρθογραφεῖν, ἢ τὸ ἐπιμεριζόμενον, ἢ κλίσις, ἢ πτῶσις, ἢ λόγου σύνταξις; ὁ δ' ὡς πρὸς βάρβαρά τινα ἐξαπορεῖται τὰ ἐρωτώμενα· καὶ εἰπεῖν τι ἑλληνικώτερον τὸν ἐρωτῶντα καταναγκάζει. στίχους δὲ καὶ ἐκστίχιον, ἢ παράθεσιν, ἢ κυκάλιον, ἢ δημηγορίαν, γραφικήν τε καὶ σύγγραφὴν, οὐδ' εἰ ἐν ὀνόμασι τεταγμένα τυγχάνουσιν οἶδεν. οὕτω πάσης ἀμοιρεῖ καὶ τάξεως καὶ παιδεύσεως. Ἀλλὰ τούτων μὲν ἀπεστέρηται, ἡ δέ γε ἰδέα τῆς κατ' αὐτὸν ζωῆς εὐσχήμων, καὶ οἵαν εὔ-

ξαιτ' ἄν τις τῶν τὰ κρείττω ζηλούντων μιμήσα-
σθαι; οὐ μέγ' οὖν. κυβεύει μὲν γὰρ ὅσαι ὧραι, οὐ τὴν
συνήθη ταύτην κυβείαν, καὶ ἣν ἄν τινες τῶν εὖ βι-
ούντων ἐς διάχυσιν ἑστηκυίας γνώμης συμπαίξειαν,
ἀλλὰ τὴν ἐκτετραμμένην καὶ ἐπίῤῥητον. πεττοὶ γοῦν
αὐτῷ πολυειδεῖς καὶ ποικίλοι, οἱ μὲν πλείω, οἱ δ'
ἐλάττω βάλλοντες. καὶ οἱ μὲν ἐς περιττὰ, τοὺς
πάμπαν ἀναῤῥιπτούμενοι στίγματα· οἱ δὲ εἰς ἄρτια.
προλαμβάνει τε ἀριθμούς τινας, καὶ ἀντιδίδωσιν ἑτέ-
ρους, καὶ τίθησι τούτοις ὡσανεὶ σκοποὺς καὶ πρὸς τὰ
διωμολογημένα διαπραγματεύεται. ἀντεμβάλλεται
καὶ τοῖς πλείωσι καὶ τοῖς ἐλάττωσι, καὶ τινας δυνά-
μεις ἐπὶ τούτοις ἀνακικλήσκεται· ὧν αὐτὸς ἂν εἰ-
δείη καὶ τὰς ἐνεργείας καὶ τὰ ὀνόματα, οὕτω πολὺς
ἐστὶ τῶν φαύλων τὴν ἐπιστήμην. ἐπιχειρεῖ τε τοῖς
κακοῖς, καὶ ἐπεξεργάζεται, ἄλλα ἐπ' ἄλλοις ἐφευ-
ρίσκων τῆς τοιαύτης κακοτεχνίας. διημερεύει τε καὶ
παννυχίζει ἐπὶ τοῖς τοιούτοις κακοῖς. καὶ τὴν τη-
λίαν οὐκ ἀφίησι τῶν γονάτων, ἀλλ' ὥσπερ τινὰ
δέλτον μεταχειρίζεται. ἔστι δ' ὅτε καὶ μὴ ὄντος
τοῦ ἀνταγωνιζομένου, αὐτὸς πρὸς ἑαυτὸν ἁμιλλᾶ-
ται σκιαμαχῶν ἄντικρυς. Τὰ δὲ ἐν τούτοις δια-
λείμματα, ἆράγε ὥσπερ τῶν ἐν πυρετοῖς περιόδων,
ἥσυχά τε καὶ ἀναπαύσιμα; οὐ μὲν οὖν. πότοι γοῦν καὶ
καπηλεῖα τὰ προηγησάμενα δέχονται. καὶ νῦν μὲν
ἄκρατον ἀποῤῥοφεῖ τὸν Ἀνθοσμίαν· νῦν δὲ κιρνᾷ
μὲν, ἀλλ' ὀλίγῳ καταμιγνύων ὕδατι χλιαρῷ, ἵνα
μὴ τὴν τοῦ ἀκράτου δύναμιν φησὶν ἐλαττώσω. οἶδε
γὰρ ἐν τοῖς τοιούτοις φιλοσοφεῖν. πολλάκις δὲ αὐ-
τὸς τὸ ἐκ τῶν Μεγαρέων κεράμιον ἀπρὶξ ταῖν χε-
ροῖν λαβόμενος, καὶ ἀμφότερα μετεωρίσας, καὶ τοῖς
χείλεσι προσαρμόσας, ἀπνευστὶ πίνει καθάπερ οἱ
βόες.

βόες. διηκριβώσατο δὲ ξύμπαντα τὰ καπηλεῖα τῆς πόλεως· πρῶτα δὲ τῶν πάντων τίθεται, ὡς αὐτοῦ πολλάκις ἠκροασάμην, τὸ τοῦ Σανάου, καὶ τοῦ Μελιτράγου, τὸ γὰρ τοῦ Γοργοπλούτου φησὶν εἰς τὸ κατόπιν ἀναποδίσαι, τοῦ νέως ἐκείνου μὴ πάνυ τὴν τέχνην ἐξακριβοῦντος. οἶδε δὲ παρὰ τίσιν μὲν ὁ ἄκρατος πωλεῖται, τίνες δὲ τοῦτον ἐπινοθεύουσι. καὶ ποῦ μὲν ὁ μελάντατος πλείων, ποῦ δ' ὁ κιρρὸς καὶ λεπτός· καὶ ὅτι τὰ πρῶτα τούτου ὁ Χῖος. δυναμικώτερος γάρ φησι τῶν ἄλλων, καὶ θρέψαι φύσιν σώματος αὐταρκέστατος. Ἆρ' οὖν ταῦτα μὲν τοιοῦτος, καὶ τοὺς ἐπὶ τούτοις διαβοήτους ὑπερηκοντικώς, εὐπρεπὴς δὲ τὸ σχῆμα καὶ μέτριος; καὶ πόσα ἄντις εἰπὼν τὰ διεστραμμένα τούτου ἐξαριθμήσαιτο σχήματα; ἢ πῶς ἂν τὴν ποικίλην ἐκφράσειεν; ἃ μὲν ἐξεπίτηδες παίζων καὶ φλυαρῶν διασχηματίζοιτο, μὴ κείσθω ἐν αἰτιάμασι νῦν, ἀλλ' ἔσω ταῦτα τῆς παιδιᾶς. οἷα δ' αὐτῷ τὰ εὐσχήμονα; διαστρέφει τὰ χείλη μηδενὸς ἀναγκάζοντος, νῦν μὲν ἐπὶ τὰ δεξιά, νῦν δ' ἐπὶ τὰ εὐώνυμα ἄθροον. καὶ τὸ αὐτὸ σχῆμα πολλάκις σοβεῖ τοὺς ὀφθαλμοὺς, ὕβριν ἀποπνεῖ τῶν μυκτήρων καὶ παραφρόνησιν. διαλλάττει τὴν κεφαλὴν, ἀνασηκοῖ τοὺς ὤμους, καὶ μετατίθησι τὰς χεῖρας· νῦν μὲν ὑπερωμίους, ἐκτείνας κατὰ τῆς ῥάχεως. νῦν δ' ἀμφοτέραις διασπαράττει, καὶ τὼ μηρὼ διαξέεται, καὶ ἄλλο τι τῶν ἀτοπωτέρων ποιεῖ. τοὺς πόδας οὐδέποτε συνηρμόσατο, οὐδ' ἐπὶ τῆς αὐτῆς ἔστη βάσεώς τε καὶ τάξεως. ἀλλὰ τὸν ἀριστερὸν ἐρείσας κατ' εὐθεῖαν τῇ γῇ ἐπὶ θάτερον νεύσας ἀντιπεριάγει τούτῳ τὸν δεξιόν. κἂν εἴτις τοῦτον ἰδὼν ἀποπλήξειεν, ὁ δὲ διορθῶσαι τὸ σχῆμα βουλόμενος,

ἐν

ἐναλλάττει τὼ πόδε, ϗ ἔστιν αὐτῷ διόρθωσις ἡ ἀντίθεσις. ἀριστᾷν δὲ ἢ δειπνεῖν προελόμενος, ἀνατροπεὺς ἐστὶ τοῦ καθήκοντος. νῦν μὲν διασείων τὴν τράπεζαν τοῖς συνδείπνοις ἐξεπίτηδες, ϗ ἀνατρέπων τοὺς πινακίσκους ϗ τὰ τρύβλια· νῦν δὲ ἄμφω τὼ χεῖρε βάλλων κατὰ τῆς χύτρας, ϗ ὁμοῦ τήν τε λοπάδα ϗ τὸ τήγανον ταῖς χερσὶν ἀμφοτέραις διασπαράττων, ϗ ἀπογευόμενος κυνηδόν, ϗ ἵνα δὴ κακὸς πρὸς αὐτὸν ϗ ἄτεχνος ῥήτωρ γίνωμαι, ὕστερα τὰ πρῶτα τιθεὶς, οὐ γὰρ δεῖ λόγον τοῖς ἀλόγοις ἐπαγαγεῖν. τοιοῦτος αὐτῷ ϗ ὁ πατὴρ, ϗ ἡ μήτηρ, ϗ ὁ ἀδελφός, ἀλλὰ τὰ μὲν τοῦ φύσαντος, ἑτέροις ἀφίημι λέγειν. ἡ δὲ μήτηρ αὐτοῦ, ἣν ϗ τεθέαμαι, μάγος ϗ φαρμακίς, ϗ οἵα ἐλευθέρας φύσεις ἀνδραποδίζεσθαι. ϗ πόῤῥω τῆς ἐνεγκούσης ἀπαγαγεῖν, ὁποῖον αὐτὸς περὶ τὰ φίλτατα παρ' αὐτῆς πέπονθεν. ὁ δὲ ἀδελφὸς, ϗ ταῦτα οὕτω ἡβήσας, οὐδὲν αὐτῷ ἀπεοικώς, ἵνα συνελὼν εἴπω τὸ πᾶν, τοιοῦτος ὁ παπᾶς ὁ ἐμὸς, ὢ τί ἂν ἐπαρασαίμην, ἢ ταχέως θανεῖν, ὥστε μὴ τοιοῦτον ἐν ἑαυτῷ θάλπειν κακόν.

## Ἰουλιανοῦ βασιλέως τοῦ Παραβάτου πρὸς Βασίλειον τὸν Καισαρείας ἀρχιεπίσκοπον.

Τὸ ἔμφυτόν μοι ἐκ παιδόθεν ϗ γαληνὸν ϗ φιλάνθρωπον μέχρι τοῦ παρόντος ἐπιδεικνύμενος, πάντας ὑπηκόους ἐκομισάμην τοὺς τὴν ὑφήλιον οἰκοῦντας. ἰδοὺ γὰρ πᾶν γένος βαρβάρων μέχρι ὁρίων Ὠκεανοῦ ποταμοῦ, δῶρά μοι κομίζον ἧκε παρὰ ποσὶ τοῖς ἐμοῖς. ὁμοίως δὲ ϗ Σαγάδαρες, οἱ παρὰ τὸν Δούναβιν ἐκτραφέντες, οἱ εὐποικιλόμορφοι, οἷς οὐκ ἔστι θέα ὁμοιοειδὴς ἀνθρώπων, ἀλλὰ μορ-

Ε.Υ.Δ. Κ.Τ. ΙΩΑΝΝΙΝΑ 2006

[μ]ορφὴ ἀγροικαίνουσα· οὔτοι κατὰ τὴν ἐνεστῶσαν προ-
[κ]υλινδοῦνται ἴχνεσι τοῖς ἐμοῖς, ὑπισχνούμενοι μοι
[π]οιεῖν ἐκεῖνα ἅπερ ἁρμόζει τῇ ἐμῇ βασιλείᾳ. οὐχὶ
[δ]ὲ μόνῳ ἐν τούτῳ ἕλκομαι, ἀλλὰ δεῖ με σὺν πολλῷ
[τ]ῷ τάχει καταλαβεῖν τὴν Περσῶν, καὶ τροπώσα-
[σ]θαι Σάπορην ἐκεῖνον τὸν ἀπόγονον Δαρείου γεγο-
[ν]ότα, ἄχρις οὗ ὑπόφορος καὶ ὑποτελὴς μοι γένη-
[τ]αι. ἐνταῦθα καὶ τὴν Ἰνδῶν καὶ τῶν Σαρακινῶν πε-
[ρ]οικίδα ἐκπορθῆσαι, ἄχρις οὗτοι πάντες ἐν δευτέ-
ρᾳ τάξει τὴν ἐμὴν γένωνται, ὑπόφοροι καὶ ὑποτε-
λεῖς. Ἀλλ' αὐτὸς ἐπέκεινα τῆς τούτων δυνάμεως
πεφρόνηκας, εὐλάβειαν λέγω ἐκδεδύσθαι, ἀναίδει-
αν δὲ περιβαλλόμενος, καὶ πανταχοῦ διαφημίζων
ὡς ἀνάξιόν με τῆς τῶν Ῥωμαίων βασιλείας γεγο-
νέναι. ἢ οὐκ οἶσθα ὡς Κώνστα τοῦ κρατίστου ἐγέγονα;
καὶ τούτων οὕτως γνωσθέντων ἡμῖν οὗ ἕνεκα οὐδὲ τῆς
προτέρας ἐξέστημεν διαθέσεως. ὥσπερ ἔτι νέοι ὄν-
τες τὴν ἡλικίαν ἐγώ τε καὶ σὺ μετεσχήκαμεν. Ἀλ-
λὰ γαληνῷ τῷ φρονήματι θεσπίζω δεκάδα ἑκα-
τοντάδος χρυσίου λιτρῶν ἐξαποσταλῆναι μοι πα-
ρὰ σοῦ ἔντε κατὰ τὴν πάροδον κατὰ τὴν Καισσα-
[ρεί]ος ἑτοίμου κατὰ τὴν λεωφόρον ὑπάρχοντος σὺν
πολλῷ τῷ τάχει ἀφικνουμένου μου κατὰ τὴν Περσῶν
ἑτοίμου ὄντος μου. Εἰ μὴ τοῦτο ποιήσῃς, πάντα
[τ]όπον ἀνασκευάσαι τῆς Καισσαρείας, καὶ τὰ πα-
λαιὰ αὐτῆς ἐγηγερμένα καλλιεργήματα κατα-
στρέψαι, κατὰ τόπον ναοὺς καὶ ἀγάλματα ἀναστῆ-
σαι, ὥστε με πείσειν πάντας εἴκειν βασιλεῖ Ῥω-
μαίων, καὶ μὴ ὑπεραίρεσθαι. Τὸ οὖν ἐξονομασθὲν
χρυσίον, ἐξαριθμοσυγκαμπανοτρυτανίσας καὶ δια-
μετρήσας ἀσφαλῶς, ἐξαποσταλῆναι μοι, εἰ συνή-

θης, δι' οἰκείου πιστοῦ σου ὄντος, δακτύλῳ τῷ σῷ σφραγισάμενος. ὥστε με ἐπεγνωκότι κἂν ὀψέ ποτε τοῦ καιροῦ ἀπαραίτητον γαλήνιόν σοι γενέσθαι περὶ τὰ ἐπταισμένα. ἃ δὲ ἀνέγνων, ἔγνων, καὶ κατέγνων.

## Βασίλειος Ἰουλιανῷ χαίρειν.

Μικρά σοι τὰ τῆς παρούσης τύχης ἀνδραγαθήματα, καὶ φαῦλα τὰ τῆς ἀριστείας, ἧς αὐτὸς ἠρίστευσας καθ' ἡμῶν. οὐχὶ δὲ καθ' ἡμῶν, ἀλλὰ κατὰ σοῦ. ἐγὼ δὲ τρόμῳ συνέχομαι, ὅταν λάβω κατὰ νοῦν πορφύραν σε περιβεβλῆσθαι, ὅπερ ἐστὶ βασιλικὸν πρόβλημα. στεφάνῳ δὲ σου τὴν ἄτιμον κεφαλὴν, ὅπερ δίχα σοι εὐσεβείας περικείμενον, οὐκ ἔνδοξον, ἀλλ' ἄτιμον καθίστησι σου τὴν βασιλείαν; ἀλλ' αὐτὸς ἐπανελθὼν, καὶ ὑπερμεγέθης γενόμενος; ὡς γε φαῦλοι καὶ μισόκαλοι δαίμονες εἵλκυσάν σε περὶ τὰ τοιαῦτα. καὶ οὐ μόνον ὑπὲρ πᾶσαν φύσιν ἀνθρώπων ἦρξω φρονεῖν, ἀλλὰ καὶ εἰς θεὸν ὑπεραίρεσθαι. καὶ τὴν πάντων μητέρα καὶ τιθηνὸν Ἐκκλησίαν ὑβρίζειν ἐπιχειρεῖς, μηνύεται χρησάμενος πρός με τὸν εὐτελέστατον· χιλιάδας χρυσίου λιτρῶν ἐξαποσταλῆναί σοι παρ' ἡμῶν. καὶ ἡ μὲν τοῦ χρυσίου ὁλκὴ οὐκ ἐθάμβησε μου τὴν διάνοιαν, εἰ καὶ μάλα πολλὰ καθέστηκεν· ἀλλὰ δακρῦσαι μοι πικρῶς παρεσκεύασεν ἐπὶ τῇ τοιαύτῃ σου ταχίστῃ ἀπωλείᾳ. ἐντεθύμημαι γὰρ καθ' ἑαυτὸν ἐγώ τε αὐτὸς, καὶ ἡ σὴ καλοκἀγαθία, κοινῶς μ- μαθήκαμεν τὰ ἱερὰ καὶ βέλτιστα γράμματα. ἑκάτεροι δὲ διεξήλθομεν τὰς ἁγίας καὶ θεοπνεύστους

γρα-

ΠΑΝΕΠΙΣΤΗΜΙΟ ΙΩΑΝΝΙΝΩΝ ... ΦΙΛΟΣΟΦΙΑΣ ... ΚΩΝΣΤΑΝΤΙΝΟΣ Θ. ΠΕΤΣΙΟΣ
ΙΩΑΝΝΙΝΑ 2006

γραφάς. καὶ τότε μὲν ἐλάνθανέ σε οὐδὲν· ἐπὶ δὲ τοῦ παρόντος ἀκόσμητος καθέστηκας ὑπὸ τοιούτου στρατεύματος στρατοπαιδευθείς. ᾔδεις πρὸ τῆς χθὲς γαληνότητος ἐπ' ἀπληστίᾳ χρημάτων μὴ πολιτεύεσθαι. νῦν δὲ κατὰ τὴν ἐνεστῶσαν δέκα ἑκατοντάδας χρυσίου λιτρῶν ἐζήτησας παρ' ἡμῶν φείσασθαι. τοίνυν ἡμῶν θέλησον γαληνότατε, τοσαῦτα ἡμῶν κεκτημένος, ὅσα καὶ τήμερον εἰ θελήσωμεν χορτασθῆναι, οὐκ ἐξαρκέσοι ἡμῖν. ἀρκεῖ γὰρ ὡς εἰκὸς παρ' ἡμῶν μαγείρων τέχνη. μάχαιρα δὲ αὐτῶν αἵμασιν οὐ προσομιλεῖ. τὰ μέγιστα τῶν παρ' ἡμῖν βρωμάτων, ἐν οἷς ἡ δαψίλεια, χόρτων φύλλα σὺν ἄρτῳ, καὶ τῷ ἐξεστηκότι οἴνῳ, ὥστε μὴ ἐνθαμβούμενα τὰ αἰσθητήρια ὑπὸ τῆς γαστριμαργίας ἐπ' εὐφροσύνῃ πολιτεύεσθαι. Ἀπήγγειλε δέ μοι καὶ τοῦτο Λαῦσος ὁ περίβλεπτος τριβοῦνος, ὁ γνήσιός σοι περὶ τὰ ἐσπουδασμένα· ὡς γυνή τις προσέλευσιν ἐποιήσατο ἐπὶ τῆς σῆς γαληνότητος ἐπ' ἀπωλείᾳ παιδὸς αὐτῆς φαρμακευθέντος, καὶ ὡς κέχρηται παρ' ἡμῶν φάρμακα μὲν μηδαμῶς εἶναι. ὃν δ' ἀναιρεῖσθαι, ἢ ἐκείνους μόνους περιποιεῖσθαι, οἷς ἡ μάχη πρὸς τὰ θηρία, καὶ τοῦτο ὀρθῶς κριθὲν παρ' ἡμῖν, ξένον μοι φαίνεται. παντὸς γὰρ γέλωτός ἐστιν ἀνάμεστος, πῶς τὰ μεγάλα ἄλγη τῶν τραυμάτων μικροῖς φαρμάκοις θεραπεύειν ἐπιχειρεῖς; θεὸν γὰρ ὑβρίσας χηρῶν καὶ ὀρφανῶν μάτην πρόνοιαν ποιεῖς. τὸ μὲν γὰρ μανικὸν καὶ ἐπικίνδυνον, τὸ δὲ φιλοικτίρμον καὶ συμπαθές. ἐπαχθὲς γὰρ ἡμῖν λέγειν πρὸς βασιλέα, ἰδιώτας ὄντας. ἐπαχθὲς δέ σοι φανήσεται, τοῦ λέγειν πρὸς θεόν· οὐδεὶς μεσίτης θεοῦ καὶ ἀνθρώπων

φανήσεται. οὐ μέντοι ἀνέγνως, οὐκ ἔγνως. εἰ γὰρ ϗ ἔγνως, οὐκ ἂν κατέγνως.

## Λιβάνιος ὁ Σοφιστὴς Ἰωάννῃ τῷ Χρυσοστόμῳ·

Δεξάμενός σου τὸν λόγον τὸν πολὺν ϗ καλὸν, ἀνέγνων ἀνδράσι λογων αὐτοῖς δημιουργοῖς. ὧν οὐδεὶς ἦν ὃς οὐκ ἐπήδα τε ϗ ἐβόα ϗ πάντα ἔδρα τὰ τῶν ἐκπεπληγμένων. Ἤθην οὖν ὅτι τῷ δεικνύναι τὴν τέχνην ἐν δικαστηρίοις προστίθης τὰς ἀποδείξεις. ϗ μακαρίζω σε μὲν οὕτω δυνάμενον ἐπαινεῖν. ἐπαινέτου δὲ τοιούτου τετυχηκότας, τόν τε δόντα πατέρα, ϗ τοὺς λαμβάνοντας ἡμεῖς τὴν βασιλείαν.

Τέλος τῶν ἐπιστολῶν.



Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Α φθα